3 Λάλησον, πρεσβύτερε, πρέπει γάρ σοι,
ἐν ἀκριβεῖ ἐπιστήμῃ καὶ μὴ ἐμποδίσῃς μουσικά.
4 ὅπου ἀκρόαμα, μὴ ἐκχέῃς λαλιὰν
καὶ ἀκαίρως μὴ σοφίζου.
5 σφραγὶς ἄνθρακος ἐπὶ κόσμῳ χρυσῷ
σύγκριμα μουσικῶν ἐν συμποσίῳ οἴνου·
6 ἐν κατασκευάσματι χρυσῷ σφραγὶς σμαράγδου
μέλος μουσικῶν ἐφ᾽ ἡδεῖ οἴνῳ.
7 Λάλησον, νεανίσκε, εἰ χρεία σου,
μόλις δὶς ἐὰν ἐπερωτηθῇς·
8 κεφαλαίωσον λόγον, ἐν ὀλίγοις πολλά·
γίνου ὡς γινώσκων καὶ ἅμα σιωπῶν.
9 ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου
καὶ ἑτέρου λέγοντος μὴ πολλὰ ἀδολέσχει.
10 πρὸ βροντῆς κατασπεύδει ἀστραπή,
καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις.
11 ἐν ὥρᾳ ἐξεγείρου καὶ μὴ οὐράγει,
ἀπότρεχε εἰς οἶκον καὶ μὴ ῥαθύμει·
12 ἐκεῖ παῖζε καὶ ποίει τὰ ἐνθυμήματά σου
καὶ μὴ ἁμάρτῃς λόγῳ ὑπερηφάνῳ.
13 καὶ ἐπὶ τούτοις εὐλόγησον τὸν ποιήσαντά σε
καὶ μεθύσκοντά σε ἀπὸ τῶν ἀγαθῶν αὐτοῦ.
14 Ὁ φοβούμενος κύριον ἐκδέξεται παιδείαν,
καὶ οἱ ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν.
15 ὁ ζητῶν νόμον ἐμπλησθήσεται αὐτοῦ,
καὶ ὁ ὑποκρινόμενος σκανδαλισθήσεται ἐν αὐτῷ.
16 οἱ φοβούμενοι κύριον εὑρήσουσιν κρίμα
καὶ δικαιώματα ὡς φῶς ἐξάψουσιν.
17 ἄνθρωπος ἁμαρτωλὸς ἐκκλινεῖ ἐλεγμὸν
καὶ κατὰ τὸ θέλημα αὐτοῦ εὑρήσει σύγκριμα.
18 Ἀνὴρ βουλῆς οὐ μὴ παρίδῃ διανόημα,
ἀλλότριος καὶ ὑπερήφανος οὐ καταπτήξει φόβον.
19 ἄνευ βουλῆς μηθὲν ποιήσῃς
καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμελοῦ.
20 ἐν ὁδῷ ἀντιπτώματος μὴ πορεύου
καὶ μὴ προσκόψῃς ἐν λιθώδεσιν.

$3^2$ και > S*† || $5^2$ συμποσια A† || $8^1$ λογον > S† | $8^2$ ως > A || $9^1$ εξουσιαζου S† || $11^2$ ραθυμει] ρ > A† || $12^2$ αμαρτης] -τησης A, αμαρτια και S*V† || $14^1$ κυρ.] pr. τον S† | εκλεξεται $B^{c}$† | $14^2$ ορθρ.] + προς αυτον pau.: cf. 4 12 || $16^1$ κριμα] χαριν S*† || post $18^2$ addunt BSApl stichum και μετα το ποιησαι μετ αυτου ανευ βουλης a $S^c$ asterisco notatum (cf. Iob 9 7): ex $19^2 + 19^1$